**Ιουλιανός, επιστολή 4**

(έκδ. J. Bidez, *L'empereur Julien. Oeuvres complètes*, vol. 1.2, Paris 1960)

## Εὐαγρίῳ ῥήτορι.

Συγκτησείδιον μικρὸν ἀγρῶν τεττάρων δοθέντων ἐμοὶ παρὰ τῆς τήθης ἐν τῇ Βιθυνίᾳ τῇ σῇ διαθέσει δῶρον δίδωμι, ἔλαττον μὲν ἢ ὥστε ἄνδρα εἰς περιουσίαν ὀνῆσαί τι μέγα καὶ ἀποφῆναι ὄλβιον, ἔχον δὲ οὐ παντάπασιν ἀτερπῆ τὴν δόσιν, εἴ σοι τὰ καθ' ἕκαστα περὶ αὐτοῦ διέλθοιμι. Παίζειν δὲ οὐδὲν κωλύει πρός σε χαρίτων γέμοντα καὶ εὐμουσίας. Ἀπῴκισται μὲν τῆς θαλάττης σταδίους οὐ πλέον εἴκοσι, καὶ οὔτε ἔμπορος οὔτε ναύτης ἐνοχλεῖ λάλος καὶ ὑβριστὴς τῷ χωρίῳ; οὐ μὴν ἀφῄρηται τὰς παρὰ τοῦ Νηρέως χάριτας παντελῶς, ἔχει δὲ ἰχθὺν πρόσφατον ἀεὶ καὶ ἀσπαίροντα, καὶ ἐπί τινος ἀπὸ τῶν δωμάτων προελθὼν γηλόφου, ὄψει τὴν θάλατταν τὴν Προποντίδα καὶ τὰς νήσους τήν τε ἐπώνυμον πόλιν τοῦ γενναίου βασιλέως, οὐ φυκίοις ἐφεστὼς καὶ βρύοις, οὐδὲ ἐνοχλούμενος ὑπὸ τῶν ἐκβαλλομένων εἰς τοὺς αἰγιαλοὺς καὶ τὰς ψάμμους ἀτερπῶν πάνυ καὶ οὐδὲ ὀνομάζειν ἐπιτηδείων λυμάτων, ἀλλ' ἐπὶ σμίλακος καὶ θύμου καὶ πόας εὐώδους. Ἡσυχία δὲ πολλὴ περὶ τὸν τόπον κατακλινομένῳ καὶ εἰς τὸ βιβλίον ἀφορῶντι, εἶτα διαναπαύοντι τὴν ὄψιν ἥδιστον ἀπιδεῖν εἰς τὰς ναῦς καὶ τὴν θάλατταν. Τοῦτο ἐμοὶ μειρακίῳ κομιδῇ νέῳ θερίδιον ἐδόκει φίλτατον· ἔχει γὰρ καὶ πηγὰς οὐ φαύλας καὶ λουτρὸν οὐκ ἀναφρόδιτον καὶ κῆπον καὶ δένδρα. Ἀνὴρ δὲ ὢν ἤδη τὴν παλαιὰν ἐκείνην ἐπόθουν δίαιταν, καὶ ἦλθον πολλάκις, καὶ γέγονεν ἡμῖν οὐκ ἔξω λόγων ἡ σύνοδος.

Ἔστι δὲ ἐνταῦθα καὶ γεωργίας ἐμῆς μικρὸν ὑπόμνημα, φυταλία βραχεῖα, φέρουσα οἶνον εὐώδη τε καὶ ἡδύν, καὶ οὐκ

ἀναμένοντά τι παρὰ τοῦ χρόνου προσλαβεῖν τὸν Διόνυσον ὀψὲ ἢ τὰς Χάριτας· ὁ βότρυς δὲ ἐπὶ τῆς ἀμπέλου καὶ ἐπὶ τῆς ληνοῦ θλιβόμενος ἀπόζει τῶν ῥόδων, τὸ γλεῦκος δὲ ἐν τοῖς πίθοις ἤδη τοῦ νέκταρός ἐστιν ἀπορρὼξ Ὁμήρῳ πιστεύοντι. *(30)*

Τί δῆτα οὐ πολὺ γέγονεν οὐδὲ ἐπὶ πλέθρα πάνυ πολλὰ τοιούτων ἀμπέλων; Τυχὸν μὲν οὐδὲ ἐγὼ γεωργὸς γέγονα πρόθυμος, ἀλλ᾽ ἐπεὶ ἐμοὶ νηφάλιος ὁ τοῦ Διονύσου κρατὴρ καὶ ἐπὶ πολὺ τῶν Νυμφῶν δέεται, ὅσον εἰς ἐμαυτὸν καὶ τοὺς φίλους (ὀλίγον δέ ἐστι τὸ χρῆμα τῶν ἀνδρῶν) παρεσκευασάμην. Νῦν δή σοι δῶρον, ὦ φίλη κεφαλή, δίδωμι μικρὸν μὲν ὅπερ ἐστί, χαρίεν δὲ φίλῳ παρὰ φίλου, οἴκοθεν οἴκαδε, κατὰ τὸν σοφὸν ποιητὴν Πίνδαρον.

Τὴν ἐπιστολὴν ἐπισύρων πρὸς λύχνον γέγραφα, ὥστε, εἴ τι ἡμάρτηται, μὴ πικρῶς ἐξέταζε, μηδὲ ὡς ῥήτωρ ῥήτορα.

Ἀγρὸς Ἀχαιμενίδου τὸ πρίν ποτε, νῦν δὲ Μενίσκου,
ἄλλοτε δ᾽ ἐξ ἑτέρου μεταβήσομαι εἰς ἕτερον·
καὶ γὰρ ἐκεῖνος ἔχειν με τότ᾽ ᾤετο καὶ πάλιν οὗτος
οἴεται· εἰμὶ δ᾽ ἐγὼ οὐδενός, ἀλλὰ Τύχης.